# TEZAUR LITURGIC

## 21 OCTOMBRIE
## +IOIL FRAGKAKOS, MITROPOLITUL EDESSEI

# PARACLISUL
## SF.IERARH
# ILARION,
## EPISCOPUL MEGLENEI BULGARIEI

**ATENA,2020**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 21 ΟΚΤΩΒΡΙΟΣ
# ΙΛΑΡΙΩΝ ΜΟΓΛΕΝΩΝ
# ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα Μητροπολίτου Εδέσσης Ιωήλ Φραγκάκου**

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ᾽ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ᾽ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α᾽. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β᾽. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ᾽. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ὡς Ἱεράρχης Μογλενῶν Ἱλαρίων, καὶ ἀντικείμενος λαῷ Βογομίλων, καὶ τῶν Προμάχων θεῖον ἐγκαλλώπισμα, ταῖς ἱκετηρίαις σου, πρὸς Χριστὸν μὴ ἐλλίπῃς, ἱκετεύων πάντοτε, λυτρωθῆναι κινδύνων, τοὺς σοὺς ἱκέτας πίστει ἀκλινεῖ, πρὸ τῆς εἰκόνος, τῆς σῆς ἀνακράζοντας.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν' (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Ἱλαρίων, δὸς τῇ ψυχῇ μου τὴν ῥῶσιν. Ἰωήλ.*

*Ὠδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Ἱλάσθητι Δέσποτα Ἰησοῦ, λιταῖς τοῦ Σοῦ δούλου, Ἱλαρίωνος τοῦ κλεινοῦ, κἀμὲ τὸν ἀνάξιον ποιῆσαι, ἱκετηρίας αὐτοῦ τὰ μελίσματα.

Λοιμώδους μιάσματος λογισμοῦ, ἰάτρευσον τάχει, ἐνσταλάζων τὸν γλυκασμόν, τῆς μνήμης Θεοῦ ἐν διανοίᾳ, τῶν ἐκζητούντων τὴν χάριν σου Ὅσιε.

Λυχνία πολύφωτος Μογλενῶν, δειχθεὶς Ἱλαρίων, φωταγώγησον καὶ ἡμῶν, τὸν νοῦν τοῦ εἰδέναι τοῦ Κυρίου, τὰς ἐντολὰς καὶ τὸ ἅγιον θέλημα.

*Θεοτοκίον.*

Ἀνάστησον κείμενον ἐν βυθῷ, πολλῶν με πταισμάτων, Θεονύμφευτε Μαριάμ, καὶ δίδου μοι χεῖρα βοηθείας, καὶ πρὸς μετάνοιαν ἴθυνον δέομαι.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ῥαθυμίας τῷ βέλει κατατρωθεὶς ἤνυσα, πᾶσαν τὴν ζωήν μου ἀλόγως, Πάτερ καὶ θλίβομαι· διὸ πρεσβείαις σου, διέγειρόν μου πρὸς ἄνω, νοῦν τὸν ἀμελέστατον καὶ ἀκατάστατον.

Ιδοὺ ὄντως ὑπάρχω τῆς ψυχικῆς ἔρημος, μάκαρ ἀσθενείας καὶ τρόμος, δεινὸς κατέχει με, πῶς τὴν ἐξέτασιν, τοῦ κριτηρίου ἀνθέξω, Ἱλαρίων Ἅγιε· διό με στήριξον.

Ὢ πῶς ὅλον τὸν χρόνον, τῆς βιοτῆς ἔζησα, ἐν ταῖς πονηραῖς πραγματείαις τοῦ πολεμήτορος, καὶ νῦν ὡς ἄσωτος, ἐν τῷ ναῷ σου προσφεύγω, ἵνα ταῖς πρεσβείαις σου, σωθῶ πανόσιε.

*Θεοτοκίον.*

Νῦν ὀδύρομαι Μῆτερ, καὶ ὀδυνῶμαι καὶ θλίβομαι, ὅταν ἐννοήσω ὁ τάλας, τὰς ἁμαρτίας μου, ἀλλὰ πρεσβείαις Σου, πρὸς τὸν Υἱὸν καὶ Θεόν Σου, θρήνους μετανοίας μοι, παράσχου τάχιστα.

Διάσωσον, ἀπὸ βορβόρου πταισμάτων ὦ Ἱλαρίων, τοὺς ἐν πίστει καὶ μετανοίᾳ προστρέχοντας, τῇ σῇ πρεσβείᾳ παμμάκαρ καὶ προστασίᾳ.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Πιστῶν ἀρωγός, αἱρετικῶν ἀντίπαλος, πτωχῶν ὁ τροφός, καὶ μοναζόντων σύμμαχος, δεικνύμενος τῷ βίῳ σου, ὡς ποιμὴν Μογλενῶν καὶ διδάσκαλος, μὴ ἐλλίπῃς λιταῖς σου πρὸς Χριστόν, ἐπισκοπῶν Ἱλαρίων τοὺς ἱκέτας σου.

*Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Διανοίας τὴν ζόφωσιν, τῆς πεπωρωμένης ψυχῆς τὴν σύγχυσιν, καὶ καρδίας μου τὸν τάραχον, λῦσον Ἱλαρίων ταῖς πρεσβείαις σου.

Ὁλικῶς ἐβεβήλωσα, τῆς ψυχῆς χιτῶνα ταῖς ἁμαρτίαις μου, ἀλλὰ δός μοι ἱκεσίαις σου, δάκρυα λευκᾶναι τὸ κηλίδωμα.

Σκληρυνθεὶς τῇ κακίᾳ μου, Πάτερ Ἰλαρίων πρός σε κατέφυγον, ἵνα εὕρω τὴν κατάνυξιν, πένθος μετανοίας καὶ τὰ δάκρυα.

*Θεοτοκίον.*

Τοῦ Δεσπότου τὸ τέμενος, ὄρος ἀλατόμητον καὶ κατάσκιον, Θεοτόκε ἀειπάρθενε, μὴ παρίδῃς σκέπουσα τοὺς δούλους Σου.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ἥλκωμαι δεινῶς, Ἰλαρίων ἐν τῷ σώματι, ἀσθενείαις ἀνιάτοις καὶ πικραῖς, ἀλλὰ πέποιθα ἐν σοὶ τοῦ ἰαθῆναί με.

Ψῦξον πυρετόν, τῶν πληγῶν τῆς ἀῤῥωστίας μου, καὶ τὸ ἄτονον κατάπαυσον σαρκός, ἐπομβρίαις Ἱλαρίων τῶν χαρίτων σου.

Ὕλης γεηρῶν, ὑψωθεὶς μακαριώτατε, ὑπεράνω τῇ ὁσίᾳ βιοτῇ, ἐκ χοὸς τῶν κοσμικῶν ἡμᾶς ἀνύψωσον.

*Θεοτοκίον.*

Χαῖρε ἐκ φθορᾶς, τῶν βροτῶν ἡ ἐξανάστασις, καὶ ἑτοίμη Θεοτόκε ἰσχυρά, προστασία καὶ βοήθεια ἡ ἄμαχος.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Ἠδύτητα, ἀρετῶν μοι χάρισαι, ταῖς λιταῖς σου Ἰλαρίων παμμάκαρ, καὶ ἐμπαθεὶς λογισμοὺς καὶ ἀκάρπους, ἐκ τοῦ νοός μου ἐκδίωξον τέλεον, ὅπως ὑμνῶ σεμνοπρεπῶς, τοῦ Σωτῆρος τὸ ἅγιον ὄνομα.

Μεμόλυσμαι, Ἰεράρχα Ὅσιε, ταῖς σειραῖς τῶν ἀμετρήτων παθῶν μου, καὶ μολυσμοῖς λογισμῶν ἀκρασίας, κατεῤῥυπώθην ὁ ὄντως ἀνάξιος, τοῦ οὐρανοῦ τε καὶ τῆς γῆς, ἀλλ’ εὐχαῖς σου βοήθει μοι τάχιστα.

Ὁ βίος μου, Ἱλαρίων πάντιμε, ἀνομίας καὶ αἰσχρότητος πλήρης, καὶ δυσωδίας πολλῶν ἁμαρτάδων, πρὸς τὴν ζωὴν τοῦ Χριστοῦ ἐμποδίζει με,

ἀλλ’ ὡς ὁ ἄσωτος θαῤῥῶ, ἐκζητῆσαι τὴν σκέπην καὶ χάριν σου.

*Θεοτοκίον.*

Ὑπούργησας, τῷ ἁγίῳ τόκῳ Σου, τῶν ἀνθρώπων σωτηρίαν Παρθένε, καὶ ἀνεζώωσας Εὔας τὸ γένος, καὶ τοῦ Ἀδὰμ τὴν σκηνὴν ἐξανέστησας· διὸ ἀνάστησον κἀμέ, τὸν πεσόντα ἐν λάκκῳ τῶν θλίψεων.

Διάσωσον, ἀπὸ βορβόρου πταισμάτων ὦ Ἱλαρίων, τοὺς ἐν πίστει καὶ μετανοίᾳ προστρέχοντας, τῇ σῇ πρεσβείᾳ παμμάκαρ καὶ προστασίᾳ.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.*

Τῇ θεολόγῳ σου γλώττῃ ἐστήριξας, τῶν Ὀρθοδόξων τὰ πάντιμα δόγματα, νῦν δὲ τῇ θείᾳ πρεσβείᾳ σου φρούρησον, ἐπισκοπῆς τῆς ποτέ σου πληρώματα, ἀπὸ κακῶν καὶ αἱρέσεων Ἅγιε.

Προκείμενον: *Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί Σου ἀγαλλιάσονται.*

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

*Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην.(Κεφ. Ι', 9-16).*
Εἶπεν ὁ Κύριος· ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. 10 ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι καὶ περισσὸν ἔχωσιν. 11 ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· 12 ὁ μισθωτὸς δὲ καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησι τὰ πρόβατα καὶ φεύγει· καὶ ὁ λύκος ἁρπάζει αὐτὰ καὶ σκορπίζει τὰ πρόβατα. 13 ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. 14 ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, καὶ γινώσκω τὰ ἐμὰ καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν, 15 καθὼς γινώσκει με ὁ πατὴρ κἀγὼ γινώσκω τὸν πατέρα, καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. 16 καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.

Δόξα: *Ταῖς τοῦ Ἱεράρχου...*
Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*
Προσόμοιον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.
Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*
Στῦλος ἀπερίτρεπτος ἐπισκοπῆς τῶν Μογλαίνων, καὶ φωστὴρ ἀείφωτος, ζόφωσιν σκεδάζων τὴν τῶν αἱρέσεων, εὐσεβῶν τείχισμα, πᾶσαν ἀποκροῦον, Βογομίλων τὴν κακόνοιαν, καὶ ἀκριβέστατος,

μοναστῶν κανὼν καὶ ὑπόδειγμα, φανεὶς θεομακάριστε, μὴ παρίδῃς νῦν τὴν ἱκέσιον, δέησίν μου ταύτην, φωτίζων σκοτοδίνην τὴν δεινήν, καὶ ἀγνωσίαν ἀντίθεον, τῆς ψυχῆς μου Ὅσιε.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Τὸν ἀγρὸν τῆς ψυχῆς ἐκ τοῦ σπόρου καθᾶραι τῶν ζιζανίων φυτῶν, τοὐτέστιν τῆς κακίας, ἀργίας φιλαρχίας, καὶ δεινῆς κατακρίσεως, ἐπιστασίᾳ τῇ σῇ, ἐλπίζω Ἱλαρίων.

Ἡ πολίχνη Προμάχων Ἱλαρίων αἰτεῖται πρὸ τῆς εἰκόνος τῆς σῆς, τὴν θείαν ἀρωγήν σου, χαρίτων σου τὰ ῥεῖθρα, καὶ εἰρήνης δωρήματα, ἐπὶ τοὺς πίστει σοφέ, ὑμνοῦντας τὸν σὸν βίον.

Νέμεις πᾶσιν εἰρήνην τοῖς ἐν πόθῳ καρδίας καὶ εὐλαβείᾳ πολλῇ, σὲ ἐπικαλουμένοις, παμμάκαρ Ἱλαρίων, ἐκδιώκων τὸν θόρυβον, τοῦ ἀρχεκάκου ἐχθροῦ, καὶ πτερνιστοῦ βελίαρ.

*Θεοτοκίον.*

Ῥεῖθρα δός μοι δακρύων ψυχικῶν ὅπως πλύνω ἁμαρτιῶν μου πληγάς, Παρθένε Θεοτόκε, ἡ τέξασα ἀῤῥήτως, τὴν πηγὴν τῆς ἀφέσεως, τὸν Ζωοδότην Χριστόν, Ὃν πάντες εὐλογοῦμεν.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Ὡς Ἱεράρχης, παρεστηκὼς τῷ Κυρίῳ, μὴ ἐλλίπῃς ὑπὲρ πάντων ἱκετεύων, τῶν ἐν ἀσθενείαις, ποικίλαις τρυχομένων.

Στενάζων σφόδρα, ἐν τῇ νυκτὶ καὶ ἡμέρᾳ, καταφεύγω τῷ ναῷ σου Ἱλαρίων, καὶ αἰτοῦμαι Πάτερ, εἰρήνευσιν τοῦ βίου.

Ἰδοὺ τὰ πλήθη, τῶν φιλαγίων θεόφρον, εὐσεβῶς καθικετεύουσι βοῶντα· ῥύου ἡμᾶς πάντας, ἐκ τῶν πικρῶν δαιμόνων.

*Θεοτοκίον.*

Νυγεὶς τῷ βέλει, τοῦ περνοσκόπου Παρθένε, τὴν πληγήν μου καταγλύκανον εὐχαῖς Σου, καὶ τὴν ὑγείαν κατ᾽ ἄμφω δώρησαί μοι.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ἰῷ ἀλαζονείας, φαρμαχθεὶς παμμάκαρ, τῆς μετανοίας καρποὺς ἀπεστέρημαι, καὶ ἀπογνοὺς καταφεύγω, τῇ ἀντιλήψει Σου.

Ὢ πόσων ἁμαρτάδων, ἔνοχος τυγχάνω, καὶ τῆς γεέννης θεόφρον οὐ δέδοικα· διὸ λιταῖς σου τὸν νοῦν μου, Χριστῷ οἰκείωσον.

Ἡνίκα τὴν σὴν κλῆσιν, Πάτερ Ἱλαρίων, ἐν τῷ νοΐ μου προσλήψομαι σβέννυνται, τὰ ἐννοήματα πάντα τῆς ἀπογνώσεως.

*Θεοτοκίον.*

Λουτρῷ τῆς μετανοίας, σπούδασον Παρθένε, τὴν μολυνθεῖσαν καθᾶραι καρδίαν μου, ἐκ τῶν ποικίλων κηλίδων τῆς ἀθυμίας μου.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Χαίροις τῶν Προμάχων μέγας φρουρός· χαίροις Ἀλμωπίας, ἐγκαλλώπισμα ἱερόν· χαίροις μοναζόντων, ἀνδρῶν ὁ ποδηγέτης, παμμάκαρ Ἰλαρίων, Μογλαίνων καύχημα.

Ἔχων ἐν τοῖς στέρνοις σου τὸν Χριστόν, πάντα τὰ ἡδέα, ἀπηρνήσω τῶν γεηρῶν, καὶ ἐπ᾽ ὤμων ἦρας, σταυρὸν τοῦ σοῦ Δεσπότου, ὁδεύων Ἱλαρίων, πρὸς τὰ οὐράνια.

Ὕδατα ἀπέστρεψας θολερά, τῶν αἱρετιζόντων, Ἱλαρίων ἐν Μογλενοῖς, καὶ ταῖς ἀθολώτοις, τοῖς πίστεως ἀρδείαις, τὰ θρέμματα τῆς ποίμνης, τῆς σῆς ἐπότισας.

Στόματα πολύφθογγα σοφιστῶν, καὶ κενῶν ῥητόρων, Βογομίλων τῶν δυσμενῶν, ὄντως τοῖς σοῖς λόγοις, τοῖς πνευματοκινήτοις, ἐσίγησαν θεόφρον, καὶ ἠπορήθησαν.

Πέτρου τε καὶ Παύλου τῶν μαθητῶν, τὸ σεπτὸν σεμνεῖον, ἐν Προμάχοις τῶν Μογλενῶν, ἔστησας θεόφρον, τῇ χάριτι Κυρίου, ὡς πύργον Ἱλαρίων, ἀκαταμάχητον.

Μνήσθητι πρεσβείαις σου καὶ ἡμῶν, τῶν ἐν ταῖς ἀνάγκαις, τρυχομένων καὶ πειρασμοῖς, Πάτερ Ἱλαρίων, καὶ δίδου σὺ ὡς οἶδας, ἑκάστῳ τῶν ἀνθρώπων, ταχὺ τὰ πρόσφορα.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν είς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα.*

*Ἦχος πλ.β΄*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί…*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες είς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως*

*Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι’ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.*

Δεῦτε, φιλαγίων ὁ χορός, καὶ τῶν Ὀρθοδόξων τὸ πλῆθος, τὸν Ἰλαρίωνα, τὸν οὐρανοστήρικτον, ἄνδρα τῆς πίστεως, τῶν Προμάχων τὸν ἔφορον, ποιμένων τὴν δόξαν, Μογλενῶν ἐπίσκοπον, θαυμάτων αἴτιον, δεῦτε, ἱκετεύσωμεν πάντες, ἵνα ταῖς αὐτοῦ ἱκεσίαις, τύχωμεν πταισμάτων ἀπολύτρωσιν.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

